# ΔΕϹΠΟΤΑ ΕΥΛΟΓΗϹΟΝ

ἰωάννου γραμματικοῦ τοῦ τζέτζου τὰ πρὸ ὁμήρου, καὶ τὰ ὁμήρου, καὶ τὰ μεθ' ὅμηρον, ἐν ξυντόμῳ καλῶς ἐκδοθέντα.

Ἀργαλέου πολέμοιο μέγαν πόνον ἰλιακοῖο
ἔννεπε, καλλιόπεια, ὑφ' ἡμετέρῃσιν ἀοιδαῖς,
ἀρχῆθε δ' ἐπάειδε, καὶ ἐς τέλος ἐξερέεινε,
ἐξ ὅτε ὁ πρίαμος λοιγὸν τρώεσσι φυτεύει
δύσπαριν, οὐλόμενον, ἀρχὴν πολέμοιο κακοῖο,
τοῦ νόος οὐκ ἐξέειπεν ὁμήρου κυδαλίμοιο:
ἔννεπε δ' ἀργείης ἑλένης ἐρόεσσαν ὀπωπὴν, v. Sch. Eurip. ad Or.
πῶς τέ μιν ἦγεν ἀλέξανδρος σπάρτηθε τροίην:
ἔννεπε δὲ πλόον ἑλλήνων, καὶ νῆας ἁπάσας: conf. Sch. ad Eurip. Orest. v. 14.
εἶπε δὲ[α] πηλείδαο κότον, καὶ ὄλεθρον ἀχαιῶν,
ζαρπηδόντος, πατρόκλου τε, καὶ ἕκτορος οἶτον: σαρπηδόντος legitur etiam in Homero ἰλ. μ'. 379. 392.
εἰπὲ δὲ πενθεσίλειαν, κούρην ἀντιάνειραν:
ἔννεπε δ' αἰθιόπων στρατὸν, υἷα[β] τ' ἠριγενείης:

α. καὶ εἶπε δέ. β. καὶ υἱέα.

τοῦ αὐτοῦ εἰς τὴν αὐτοῦ ποίησιν ἐξήγησις:—

ὁ παρὼν ποιητὴς, φιλοσύντομος ὢν, καὶ τῆς ὠφελείας τῶν νέων φροντίζων, συντόμως τὴν πᾶσαν ἰλιάδα ἐν τῇ παρούσῃ βίβλῳ ἐξέθετο. φιλόμηρος δὲ, εἴπέρ τις ἄλλος, τελῶν, ἐπειδή τινας εὑρίσκε, τὸν ὅμηρον λέγοντας δαιμονιώδεις δοξάζειν θεοὺς, οὐ μὴν δὲ τὰς ψυχικὰς δυνάμεις, καὶ τοὺς ἀστέρας, καὶ τὰ στοιχεῖα, καὶ τοὺς σοφοὺς, ἐνίοτε καὶ τοὺς βασιλεῖς λέγειν θεοὺς, τοῦτο δεικνὺς, καὶ ἀνατρέπων τὸν λῆρον αὐτῶν, χριστιανικώτατος ὢν, καὶ ἐν τοῖς ἡμετέροις χρόνοις καλλιόπειαν, καὶ μούσας, καὶ θεοὺς, φησὶ καὶ αὐτὸς, δεικνὺς πάντως ἐκ τούτων, ὡς καὶ ὅμηρος οὕτω ταῦτα πάντα ἐλάμβανεν.

ἀργαλέου

http://digital.slub-dresden.de/ppn346492408/5